# Thrasyalkés

Testimona DK 35 A

**A 1** = Strabón, Geographica XVII, 5 Meinecke; p. 790

τὸ δ᾽ ὅτι ἐξ ὄμβρων αἱ ἀναβάσεις μὴ ζητεῖν μήτε τοιούτων δεῖσθαι μαρτύρων οἵους Ποσειδώνιος εἴρηκε. φησὶ γὰρ Καλλισθένη λέγειν τὴν ἐκ τῶν ὄμβρων αἰτίαν τῶν θερινῶν παρὰ ᾽Αριστοτέλους λαβόντα, ἐκεῖνον δὲ παρὰ Θρασυάλκου τοῦ Θασίου (τῶν ἀρχαίων δὲ φυσικῶν εἷς οὗτος), ἐκεῖνον δὲ παρ᾽ ἄλλου, τὸν δὲ παρ᾽ ῾Ομήρου διιπετέα φάσκοντος τὸν Νεῖλον ᾽ἂψ δ᾽ εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο᾽ (δ 581).

**A 2** = Strabón, Geographica I, 21 Meinecke; p. 29

εἰσὶ δέ τινες, οἵ φασιν εἶναι δύο τοὺς κυριωτάτους ἀνέμους Βορέαν καὶ Νότον ... τοῦ δὲ δύο εἶναι τοὺς ἀνέμους ποιοῦνται μάρτυρας Θρασυάλκην τε καὶ τὸν ποιητὴν αὐτὸν [τῶι] τὸν μὲν ᾽Αργεστὴν τῶι Νότωι προσνέμειν ᾽ἀργεστᾶο Νότοιο᾽, τὸν δὲ Ζέφυρον τῶι Βορέαι ᾽Βορέης καὶ Ζέφυρος, τώ τε Θρήικηθεν ἄητον᾽.